# * ΕΥΧΗ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΑΡΧΙΣΤΡΑΤΗΓΟΝ ΜΙΧΑΗΛ *

* * *

**Ἅ**γιε ἔνδοξε ἀρχιστράτηγε τῶν ἐπουρανίων δυνάμεων Μιχαήλ, ὁ ἐνώπιον τοῦ θρόνου τῆς μεγαλωσύνης ἀεὶ παριστάμενος, καὶ τὸ θέλημα τοῦ Κυρίου ἀμέσως καὶ ὡς τάχιστα ἐπιτελῶν, ὁ παρὰ τοῦ παντοδυνάμου Θεοῦ δωρηθεὶς τῇ Ἐκκλησίᾳ ὑπέρμαχος ἀντιλήπτωρ καὶ πλήθεσι σημείων δεικνύων τὴν πρὸς τοὺς πιστοὺς φιλάνθρωπον καὶ φιλάδελφον ἀγάπην καὶ προστασίαν σου, ὁ φοβερὸς ὑπάρχων τῷ διαβόλῳ καὶ ταῖς σκοτειναῖς δυνάμεσιν αὐτοῦ, πρόσδεξαι καὶ ἐν τῇ ὥρᾳ ταύτῃ τὰς ἐκ ψυχῆς ὡς θυμίαμα προσαγομένας σοι δεήσεις καὶ ἱκεσίας ἡμῶν καὶ μετάφερε αὐτὰς τῷ ἐν Τριάδι προσκυνουμένῳ Θεῷ ἡμῶν, συνηγορῶν Αὐτῷ, ὅπως κατὰ τὸ αἰώνιον συμφέρον ταῖς ψυχαῖς ἡμῶν ἐκπληρώσῃ ταύτας, χορηγῶν ἡμῖν τὸ μὲν τὴν ἴασιν τῶν συνεχουσῶν ἡμᾶς ἀσθενειῶν ψυχῆς τε καὶ σώματος, τὸ δὲ καὶ ἀποκαθιστῶν τὴν ὑγιείαν καὶ τὴν εἰρήνην ἐν ταῖς καρδίαις ἡμῶν.

**Π**άταξον, μέγιστε Ἀρχάγγελε, τῷ ἀΰλῳ σου ξίφει πάντα πειρασμὸν ἐκ τοῦ πονηροῦ προερχόμενον καὶ σφάξον τὰ ταλαιπωροῦντα ἡμᾶς ποικίλα πάθη, ἅπερ ἐπικαθήμενα τῷ ὀπτικῷ τῆς ψυχῆς, ἐμποδίζουσιν ὡς νέφη τὴν θέαν τοῦ προσώπου τοῦ γλυκυτάτου καὶ εἰρηνάρχου Κυρίου.

**Ἀ**νάδειξον ἡμᾶς χριστιανοὺς μισοῦντας τὴν ἁμαρτίαν καὶ ποίησον, κατὰ τὸ δυνατόν, ἐνθυμουμένους τὸ «Στῶμεν

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

καλῶς», ὅπερ ἀνεφώνησας πρὸς τὰς Ἀγγελικὰς χοροστασίας, παραμένοντας ταπεινῶς καὶ ὑπηκόως παρὰ τὸν Σταυρὸν τοῦ Σωτῆρος ἡμῶν, ἐν ἀδιαλείπτῳ μνήμῃ τῶν πρὸς ἡμᾶς ἀπείρων εὐεργεσιῶν Αὐτοῦ.

**Π**αράστηθι, ἔνδοξε καὶ θαυματουργὲ Ἀρχάγγελε, ὡς πρεσβύτερος ἀδελφὸς πλήρης ἀγάπης πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν, σκέπων καὶ σκιάζων ἐνισχυτικῶς ταῖς ἁγίαις πτέρυξι τῆς προστατευτικῆς σου μερίμνης καὶ ἐνδυναμῶν ἡμᾶς εἰς τὴν ἐπιτέλεσιν τοῦ ζωοποιοῦ θελήματος τοῦ Κυρίου, ἵνα καρποφορήσαντες τὰς εὐαγγελικὰς ἀρετάς, εὑρεθῶμεν ἐνώπιον Αὐτοῦ ὡς πολύκαρπα δένδρα καὶ μὴ ἐκκοπῶμεν καὶ κατακαῶμεν εἰς τὸ αἰώνιον πῦρ ὡς ἡ ἄκαρπος συκῆ.

**Ἐ**ν δὲ τῇ φοβερᾷ καὶ ἐσχάτῃ ὥρᾳ τοῦ θανάτου, ἐλθὲ μεθ' ἡμῶν, δεόμεθα, καὶ εὐθεῖαν καὶ εἰρηνικὴν ποίησον τὴν ἐξόδιον ὁδὸν τὴν ἄγουσαν εἰς τὴν ποθητὴν Βασιλείαν τοῦ Κυρίου. Μὴ ἐάσῃς, Ἀρχιστράτηγε, τὰ μισάνθρωπα τελώνια τῆς ἁμαρτίας ταλαιπωρῆσαι καὶ ἐμποδίσαι ἡμᾶς, ἀλλὰ παραλαμβάνων τὴν ἀθλίαν ψυχὴν ἡμῶν παραθέσῃς ταύτην εἰς χεῖρας τοῦ Πλάστου Κυρίου, ἕως τῆς Μελλούσης Κρίσεως, πρεσβεύων ἅμα τῷ ἀδεκάστῳ Κριτῇ καὶ Δεσπότῃ, ὅπως συγχωρήσῃ ἡμῖν πᾶν πλημέλημμα ἑκούσιόν τε καὶ ἀκούσιον καὶ κατατάξῃ καὶ ἡμᾶς, εἰ καὶ ἀναξίους, εἰς τὰς αὐλὰς τὰς φωτεινὰς τοῦ Παραδείσου.

**Ν**αί, ἁγιώτατε Ἀρχάγγελε Μιχαήλ, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν προσπιπτόντων τῇ μεγαλωσύνῃ σου ἐν πίστει


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro



καὶ πόθῳ πολλῷ, καὶ διακράτησον τὰς ἀσθενεῖς χεῖρας ἡμῶν, ἵνα μὴ ἐκκλίνωμεν εἰς ὁδοὺς πονηρὰς καὶ ψυχοφθόρους, ἀλλὰ κατὰ Θεὸν πορευόμενοι ἐν συνεχεῖ μετανοίᾳ, πάντοτε τιμῶμέν σε εὐγνωμόνως οἱ πήλινοι τὸν ἀσώματον, καὶ ἀσπαζόμενοι ἐγκαρδίως τὴν θαυματουργὸν εἰκόνα σου, δοξάζωμεν τὴν μεγάλην σου δόξαν, ἣν παρὰ Κυρίου ἀξίως εἴληφας, ὅτι Αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων. Ἀμήν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ